NAME:________________________________ Date:________ Grade:______.______

(From Grade Calculation on last page)

# Lesson 15
## ✍ Practice Drill 2 ✍

ΚΑΤΑ ΜΑΡΚΟΝ

1:21 Καὶ εἰσπορεύονται εἰς Καφαρναούμ· καὶ
εὐθὺς τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν
συναγωγὴν ἐδίδασκεν. 1:22 καὶ ἐξεπλήσσοντο
ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς
ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς. 1:23
καὶ εὐθὺς ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος ἐν
πνεύματι ἀκαθάρτῳ καὶ ἀνέκραξεν 1:24 λέγων,
Τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες
ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ.
1:25 καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων,
Φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. 1:26 καὶ
σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον καὶ
φωνῆσαν φωνῇ μεγάλῃ ἐξῆλθεν ἐξ αὐτοῦ. 1:27 καὶ
ἐθαμβήθησαν ἅπαντες ὥστε συζητεῖν πρὸς
ἑαυτοὺς λέγοντας, Τί ἐστιν τοῦτο; διδαχὴ καινὴ
κατ᾽ ἐξουσίαν· καὶ τοῖς πνεύμασι τοῖς
ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπακούουσιν αὐτῷ.
1:28 καὶ ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ εὐθὺς πανταχοῦ
εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.

ΚΑΤΑ ΛΟΥΚΑΝ

4:31 Καὶ κατῆλθεν εἰς Καφαρναοὺμ πόλιν τῆς
Γαλιλαίας. καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς
σάββασιν· 4:32 καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ
αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. 4:33 καὶ
ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα
δαιμονίου ἀκαθάρτου καὶ ἀνέκραξεν φωνῇ
μεγάλῃ, 4:34 Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ
Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς
εἶ, ὁ ἅγιος τοῦ θεοῦ. 4:35 καὶ ἐπετίμησεν αὐτῷ ὁ
Ἰησοῦς λέγων, Φιμώθητι καὶ ἔξελθε ἀπ᾽ αὐτοῦ.
καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον
ἐξῆλθεν ἀπ᾽ αὐτοῦ μηδὲν βλάψαν αὐτόν. 4:36 καὶ
ἐγένετο θάμβος ἐπὶ πάντας καὶ συνελάλουν πρὸς
ἀλλήλους λέγοντες, Τίς ὁ λόγος οὗτος ὅτι ἐν
ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις
πνεύμασιν καὶ ἐξέρχονται; 4:37 καὶ ἐξεπορεύετο
ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου.

**Translate Mark 1:21-22 (27 answers):**

**Parse (26 answers):**

Mk. 1:21 εἰσπορεύονται (8 answers):

Lu. 4: 31 κατῆλθεν (8 answers):

Mk. 1:25 Φιμώθητι (10 answers):

**Answer the following questions (5 answers):**

____ 1. Luke closely follows Mark in retelling this story.
a) True b) False

____ 2. The section where Luke's narrative is virtully identical to Mark's is
a) the narrative introduction in the first two verses.
b) the words of the demon to Jesus and of Jesus to the demon.
c) the narrative description of the excising of the demon out of the man.

3. Luke's words in 4:32 for Mark's τῇ διδαχῇ αὐτοῦ are ______________________________.

____ 4. Which gospel writer has a more Jewish oriented description?
a) Mark 1:22 b) Luke 4:32

5. Luke's word in 4:37 for Mark's ἡ ἀκοὴ is ______________________________.

**********************GRADE CALCULATION**********************

```
Number of Errors        _________._____        Total Pts.     100.00
Missed accents and breathing marks
    = 1/4 error per word                       Minus Pts.
Times                          1.70            Missed         _______._____
                  ______________                              _____________

Total Pts. Missed       _________._____        Grade          _______._____
                                       (Please record grade at top of page 1)
```